Ακαδημία Αθηνών / Academy of Athens

πάντων, ὅκωσπερ ν ό μ ῳ πόλις, καὶ πολὺ ἰσχυροτέρως. τρέφονται γὰρ πάντες οἱ ἀνθρώπειοι ν ό μ ο ι ὑπὸ ἑνὸς τοῦ θείου· κρατεῖ γὰρ τοσοῦτον ὁκόσον ἐθέλει καὶ ἐξαρκεῖ πᾶσι καὶ περιγίνεται Δημόκριτος 47 ν ό μ ῳ καὶ ἄρχοντι καὶ τῷ σοφωτέρῳ εἴκειν κόσμιον 181.2-4 κρείσσων ἐπ' ἀρετὴν φανεῖται προτροπῇ χρώμενος καὶ λόγου πειθοῖ ἤπερ ν ό μ ῳ καὶ ἀνάγκῃ. λάθρῃ μὲν γὰρ ἁμαρτέειν εἰκὸς τὸν εἰργμένον ἀδικίης ὑπὸ ν ό μ ο υ, τὸν δὲ ἐς τὸ δέον ἠγμένον πειθοῖ οὐκ εἰκὸς οὔτε λάθρῃ οὔτε φανερῶς ἔρδειν τι πλημμελὲς 191.17 ὁ γὰρ θαυμάζων τοὺς ἔχοντας καὶ μακαριζομένους ὑπὸ τῶν ἄλλων ἀνθρώπων καὶ τῇ μνήμῃ πᾶσαν ὥραν προσεδρεύων ἀεὶ ἐπικαινουργεῖν ἀναγκάζεται καὶ ἐπιβάλλεσθαι δι' ἐπιθυμίην τοῦ τι πρήσσειν ἀνήκεστον ὧν ν ό μ ο ι κωλύουσιν 245 οὐκ ἂν ἐκώλυον οἱ ν ό μ ο ι ζῆν ἕκαστον κατ' ἰδίην ἐξουσίην, εἰ μὴ ἕτερος ἕτερον ἐλυμαίνετο· φθόνος γὰρ στάσιος ἀρχὴν ἀπεργάζεται 248 ὁ ν ό μ ο ς βούλεται μὲν εὐεργετεῖν βίον ἀνθρώπων· δύναται δέ, ὅταν αὐτοὶ βούλωνται πάσχειν εὖ· τοῖσι γὰρ πειθομένοισι τὴν ἰδίην ἀρετὴν ἐνδείκνυται 259.3-6 κατὰ ν ό μ ο υ ς τοὺς πατρίους κτείνειν πολέμιον ἐν παντὶ κόσμῳ, ἐν ᾧ μὴ ν ό μ ο ς ἀπείργει· ἀπείργει δὲ ἱερὰ ἑκάστοισι ἐπιχώρια καὶ σπονδαὶ καὶ ὅρκοι 262.3 ὃς δ' ἂν παρὰ ν ό μ ο ν ἀπολύῃ κέρδει ὁρίζων ἢ ἡδονῇ, ἀδικεῖ, καὶ οἱ τοῦτο ἐγκάρδιον ἀνάγκη εἶναι 264.5 μηδέν τι μᾶλλον τοὺς ἀνθρώπους αἰδεῖσθαι ἑωυτοῦ ... ἀλλ' ἑωυτὸν μάλιστα αἰδεῖσθαι, καὶ τοῦτον ν ό μ ο ν τῇ ψυχῇ καθεστάναι, ὥστε μηδὲν ποιεῖν ἀνεπιτήδειον **2.** Ἔθος/συνθήκη, custom/convention, Ἐμπεδοκλῆς 9.5 οἱ δ' ὅτε μὲν κατὰ φῶτα μιγέντ' εἰς αἰθέρ' ἵ⟨κωνται⟩ (?) ἢ κατὰ θηρῶν ἀγροτέρων γένος ἢ κατὰ θάμνων ἠὲ κατ' οἰωνῶν, τότε μὲν τὸ ⟨λέγουσι⟩ γενέσθαι, εὖτε δ' ἀποκρινθῶσι, τὸ δ' αὖ δυσδαίμονα πότμον· ἣ θέμις ⟨οὐ⟩ καλέουσι, ν ό μ ῳ δ' ἐπίφημι καὶ αὐτός Φιλόλαος 9 φύσει καὶ οὐ ν ό μ ῳ Δημόκριτος 9 ν ό μ ῳ γλυκὺ ... ν ό μ ῳ πικρὸν ... ν ό μ ῳ χροιή, ἐτεῇ δὲ ἄτομα καὶ κενὸν 125 ν ό μ ῳ χροιή, ν ό μ ῳ γλυκύ, ν ό μ ῳ πικρόν, ἐτεῇ δ' ἄτομα καὶ κενόν.

**νόσημα.** Νόσημα/πάθηση, disease/affliction, Δημόκριτος 281 ὥσπερ ἐν [μὲν] τοῖς ἕλκεσι φαγέδαινα κάκιστον ν ό σ η μ α, οὕτως ἐν τοῖς χρήμασι. Πρβλ. νόσος.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ